UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

I. Prooemium de morte Imperatoris Constantini.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

# ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ, ΕΙΣ ΤΟΝ ΒΙΟΝ ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ τοῦ βασιλέως, Λόγος α'.

## ΠΡΟΟΙΜΙΟΝ.

Περὶ τῆς Κωνσταντίνου τελευτῆς.

A Ἄρτι μὲν τῷ μεγάλῳ βασιλεῖ παντοίων δεκάδων διττῶν τε καὶ τριττῶν περιόδους ἐν ἑορτῶν εὐωχίαις πᾶν γένος ἀνθρώπων ἐπανηγύριζεν. ἄρτι δὲ καὶ ἡμεῖς αὐτοὶ τὸν καλλίνικον μέσον ἀπολαβόντες Θεοῦ λειτουργῶν συνόδου, εἰκοσαετηρικοῖς ὕμνοις ἐγεραίρομεν. ἤδη δὲ καὶ τριακονταετηρικοὺς αὐτῷ λόγων πλέξαντες στεφάνους, ἐν αὐτοῖς πρώην βασιλείοις τὴν ἱερὰν B κεφαλὴν ἀνεστέφομεν. νυνὶ δὲ ὁ λόγος ἤδη ἀμηχανῶν ἕστηκε, ποθῶν μέν τι τῶν συνήθων προσφθέγξασθαι. ἀπορῶν δ' ὅποι καὶ τράποιτο, μόνῳ τε τῷ θαύματι τῆς ξενιζούσης ὄψεως καταπεπληγμένος. ὅποι γὰρ ἂν ἀτενὲς ἐμβλέψειεν, ἤν τε πρὸς ἕω, ἤν τε πρὸς ἑσπέραν, ἤν τ' ἐπὶ γῆς αὐτῆς ὅλης, ἤν τε πρὸς οὐρανὸν αὐτόν. πάντη καὶ πανταχοῦ τὸν μακάριον αὐτῇ συνόντα βασιλέα θεωρεῖ. C γῆς μὲν γὰρ τοὺς αὐτοῦ παῖδας οἷά τινας νέους λαμπτῆρας τῶν αὐτοῦ μαρμαρυγῶν συνορᾷ πληροῦντας τὸ πᾶν, αὐτόν τε ζῶντα δυνάμει καὶ τὸν σύμπαντα διακυβερνῶντα βίον, κρειττόνως ἢ πρόσθεν. τῇ τῶν παίδων πολυπλασιασθέντα διαδοχῇ οἳ Καισάρων μὲν ἔτι πρότερον μετεῖχον τιμῆς. νυνὶ δ' ὅλον αὐτὸν ἐνδυσάμενοι, θεοσεβείας ἀρετῇ αὐτοκράτορες. Αὔγουστοι Σεβαστοὶ Βασιλεῖς, τοῖς τοῦ πατρὸς ἐμπρέποντες καλλωπίσμασιν, ἀνεδείχθησαν.

# EVSEBII PAMPHILI DE VITA BEATISSIMI IMPERATORIS CONSTANTINI, LIBER PRIMUS.

## PROOEMIUM.

*De morte Imperatoris Constantini.*

NUPER quidem universum hominum genus secunda ac tertia magni Imperatoris nostri decennalia certis temporum spatiis redeuntia festivitatibus & conviviis celebravit. Nos quoque ipsi nuper eundem victorem ac triumphatorem cœtu famulorum Dei circumseptum, laudatione in ejus vicennalibus dicta venerati sumus. Sed & tricennalium orationum coronas ei texentes, nuper in ipso palatio sacrum ejus caput redimivimus. Verùm nunc anceps animi hæreo; cupiens quidem aliquid more solito proferre, sed quò me vertam, prorsus ignarus; insuetæ rei spectaculo perculsus. Nam quocumque mentis oculos intendo, sive ad Ortum Solis, sive ad Occasum, seu universum terrarum orbem, seu cælum ipsum circumspicio, beatissimum Principem ubique præsentem intueor. Ac liberos quidem ejus quasi nova quædam lumina, terrarum ambitus omnes paternis radiis implere animadverto, illúmque ipsum auctoritate ac potentia etiamnum viventem, résque humanas multò præstantiùs ac potentiùs moderantem; quippe qui filiorum successione diffusus sit atque amplificatus. Qui prius quidem honore Cæsarum affecti fuerant: nunc verò totum patrem induti, ob eximiam religionis virtutem Imperatores & Augusti renuntiati sunt, cuncta patris ornamenta præ se ferentes.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN